τῷ νείκει, τὴν τῶν στοιχείων φορὰν ὁτὲ μὲν ἀπονέμει τῇ τύχῃ, φησὶ γάρ. „ οὕτω συνέκυρσε θέων τότε. ὁτὲ δ' ἄλλως ἀποφαίνεται, ἔσθ' ὅτε δὲ φησὶ κατὰ φύσιν κινεῖσθαι τὰ στοιχεῖα εἰς τοὺς οἰκείους τόπους. οἷον τὸ πῦρ ἄνω φέρεσθαι πεφυκέναι. φησὶ γάρ, „ ὁ δ' αἰθὴρ μακρῇσι κατὰ χθόνα δύετο ῥίζαις. ὥστε οὐδ' αὐτὸς ἑαυτῷ συμφωνεῖ. ποτὲ μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ἀρχὰς τιθέμενος κινήσεως, ποτὲ δὲ τὴν τύχην, ποτὲ δὲ τὴν φύσιν. Ἕβδομον ἐξ ὧν αὐτός φησιν ὅτι ὁ Κόσμος ὁμοίως ἔχει ἐπί τε τοῦ νείκους νῦν, καὶ πρότερον ἐπὶ τῆς φιλίας, συναγάγοι ἄν τις ὅτι ὁ Κόσμος νῦν τε καὶ πρότερον ὁμοίαν τινὰ κινεῖται κίνησιν, τῆς δὲ ὁμοίας κινήσεως οὐκ ἔστιν αἴτιον τό, τε νεῖκος νῦν, καὶ ἡ φιλία πρότερον. ταῦτα γὰρ τῶν ἐναντίων κινήσεων αἴτια φαίνεται, ἡ γὰρ σύγκρισις καὶ διάκρισις ἐναντία. Ἔτι δὲ τὸ νεῖκος καὶ ἡ φιλία τῶν ἐπὶ μέρους κινήσεων αἴτια, ἀλλ' οὐ τῆς καθόλου ἣν ὁμοίως ὁ Κόσμος ἀεὶ κινεῖται νῦν τε καὶ πρότερον. Ἔδει οὖν αὐτὸν ἀποδοῦναι τί τὸ κινοῦν Πρῶτον καὶ αἴτιον τῆς κινήσεως, ἐπειδὴ γάρ ἐστιν, ἐκεῖνο μᾶλλον ἀρχή, τὰ γὰρ ἀεὶ ὡσαύτως ἔχοντα τῶν μὴ τοιούτων μᾶλλον ὑπάρχουσιν ἐν ἀρχῆς λόγῳ, τὸν δὲ φιλοσοφοῦντα ἐκεῖνα τῶν αἰτίων μᾶλλον εἰκός ἐστι σκοπεῖν ὅσα τὸν τῆς ἀρχῆς λόγον στανώτερον σώζει. Ὄγδοον ἄτοπον ἕπεται ὅτι καὶ τὴν ψυχὴν Ἐμπεδοκλῆς ἐκ τῶν στοιχείων γεννᾷ, καὶ οὔ τι αὐτῶν τίθησι, δι' ὧν φησι. „ Γαίῃ μὲν γαῖαν ὀπώπαμεν, ὕδατι τὸ ὕδωρ, αἰθέρι δὲ αἰθέρα δῖον, „ ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ. εἰ γοῦν ἡ ψυχὴ ἐκ τῶν στοιχείων, καὶ τὰ πάθη αὐτῆς ἐκ τῶν στοιχείων ἔσται, ἀλλ' οὐχ οὕτως ἐστίν. αἱ γὰρ ἀλλοιώσεις αἱ τῆς ψυχῆς, οἷον τὸ μουσικὸν καὶ τὸ ἄμουσον, καὶ ἡ μνήμη καὶ ἡ λήθη οὐκ εἰσὶ σωματικά. καὶ πάλιν εἰ ἡ ψυχὴ οὔ τι τῶν στοιχείων, ὑπάρξει αὐτῇ τὰ πάθη τὰ τοῦ τοιούτου στοιχείου, οἷον εἰ πῦρ ἕξει ὅσα πυρὶ πρόσεστιν ᾗ πῦρ, οἷον κουφότης, μανότης, θερμότης, εἰ δὲ ὕδωρ ὅσα τῷ ὕδατι, οἷον ψύξις, βαρύτης, ὑγρότης, εἰ δὲ ἐκ τῶν στοιχείων ἡ ψυχὴ μικτὸν ἅπαντα τὰ πάθη ταύτης σωματικὰ ἔσται, ἀλλ' οὐχ οὕτως ἐστίν. οὐ γὰρ σωματικὸν οὐδὲν τῶν οἰκείων τῆς ψυχῆς παθῶν, ἀλλὰ περὶ μὲν τούτων ἑτέρας ἔργον ἐστὶ θεωρίας.

## Ἀπορίαι.

Ἀπορεῖται πρῶτον τῷ στόπῳ ὁ Φιλόσοφος τὰ συμβλητὰ κατὰ τὸ ποσὸν ἐξ ἀνάγκης εἰς ἄλληλα φησὶ μεταβλητά, εἴγε πᾶσι δῆλον ὅτι τὰ αἰθέρια σώματα συμβάλλεται κατὰ μέγεθος καίτοι μὴ εἰς ἄλληλα πεφυκότα μεταβάλλειν; ἢ ὅτι συμβλητά φησιν Ἐμπεδο-



ΙΩΑΝΝΙΝΑ 2006

κλῆς τὰ στοιχεῖα, ὡς ἔχοντα κατ' ἴσον τὸ ποσὸν, τὰ δὲ καὶ τὸ ποσὸν ἰσάζοντα, ἢ ἁπλῶς καὶ μέγεθος θεωρεῖται, ἢ τοσοῦτον μέγεθος τόπον ἐπέχει τοσοῦτον, ἢ καθότι οἷον κοτύλη Ὕδατος ἴση ἐστὶ δέκα κοτύλαις Ἀέρος, ὡς ἅτε δὴ ἐν ἀμφοτέροις ἴσου τινὸς τοῦ αὐτοῦ ὑποκειμένου. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον ἐνδέχεταί τινα κατ' ἰσότητα καὶ ἀνισότητα συμβάλλεσθαι, καίτοι μὴ εἰς ἄλληλα μεταβάλλονται. κατὰ δὲ τὸν δεύτερον ἀδύνατόν ἐστι τὰ συμβαλλόμενα μὴ εἰς ἄλληλα μεταβάλλεσθαι. πῶς γὰρ ἂν ἴδοι τις ἴσον εἶναι τὸν τοσόνδε βῶλον τῷ τοσῷδε ἀέρι, εἰ μὴ γένοιτο ἐκ τοσοῦδε τοσόνδε. Ὁ μὲν οὖν Ἐμπεδοκλῆς ἴσα τὰ στοιχεῖα λέγων οὐ καὶ τὸ μέγεθος ἐθεώρει ταῦτα, καὶ τὸν ὄγκον, εἰ μή τις μάχεσθαι συγχωροίη ταῖς αἰσθήσεσι τὰ παρ' αὐτοῦ λεγόμενα, φαίνεται γὰρ ἀνισομεγέθη τὰ στοιχεῖα. ἀλλὰ καθὸ τὸ τοσόνδε Ὕδωρ ἴσον ἐστὶ τῷ τοσῷδε Ἀέρι, ἐκ δὲ τούτου σαφῶς συνάγεται ὅτι μεταβάλλουσιν εἰς ἄλληλα τὰ στοιχεῖα, φανερὸν οὖν ἐκ τούτων ὅτι ἡ τῶν οὐρανίων σωμάτων καὶ μέγεθος συμβολὴ οὐ συνεπιφέρει τὴν εἰς ἄλληλα τούτων μεταβολήν. οὐ γὰρ τὸ τοσόνδε τῆς Σεληνιακῆς σφαίρας ἴσον λέγεται τῷ τοσῷδε τῆς Ἡλιακῆς. ἀλλὰ τὸ ὅλον πρὸς τὸ ὅλον ἀναφερόμενον μεῖζον, ἢ ἔλαττον εἴρηται καὶ τὸν ὄγκον. ἀπορεῖται δεύτερον πῶς Ἐμπεδοκλῆς φησιν ὁμοίως ἔχειν τὸν κόσμον νῦν τε καὶ πρότερον. ἢ ὅτι ὁμοίως εἶχεν ὁ Κόσμος ὅ,τε νῦν, καὶ ὁ πρότερος, καὶ ὁ πρὸ αὐτοῦ τῶν αὐτῶν ὑπαρχόντων κινητικῶν τοῦ,τε νείκους καὶ τῆς φιλίας, ἢ ὅτι Κόσμον φησὶ τόν,τε σφαῖρον, καὶ τὸν αἰσθητόν. ὥστε τὸν μὲν σφαῖρον ὅμοιον ὑπάρχειν τῷ προτέρῳ, καὶ τὸν αἰσθητὸν Κόσμον τῷ πρὸ αὐτοῦ. ἢ ὅτι κίνησιν τινὰ οἰκείαν κινεῖται ὁ Κόσμος παρὰ τὸ νεῖκος καὶ τὴν φιλίαν. ἧς καὶ τὸ αἴτιον ζητεῖ ὁ Φιλόσοφος. ἢ ὅτι ὁμοίως ὥσπερ ἐκ τοῦ σφαίρου γίγνεται ὁ Κόσμος, οὕτως ἐκ τούτου ὁ σφαῖρος ἀποτελεῖται.

## ΚΕΦΑΛΑΙΟΝ, ἝΒΔΟΜΟΝ.

### Ἔλεγχος τῶν μὴ ποιούντων ἐξ ἀλλήλων γένεσιν, μηδ' ὡς ἐξ ἑκάστου, πλὴν ὡς ἐκ τοίχου πλίνθους.

Τοὐντεῦθεν οὖν εἰκός ἐστι καὶ τὴν ἡμετέραν ἐκθέσθαι δόξαν, καὶ τίσι διαφέρει τῆς Ἐμπεδοκλέους εἰπεῖν, ἀμφότεροι γὰρ τὰ τέσσαρα στοιχεῖα ἀρχὰς ποιοῦμεν, ἀλλ' ὁ μὲν ὡς ἀμετάβλητα, ἡμεῖς δὲ ὡς με-

ταβλη-

ταβλητικά. ἐκεῖνο δὲ πρῶτον ὑποτιθέσθω, ὅτι ὅσοις μὲν δοκεῖ εἶναί τι κοινὸν τοῖς στοιχείοις, ἐξ ὧν τὰ σώματα συνέστηκεν, ἀνάγκη ταῦθ' ὁμολογεῖν εἰς ἄλληλα μεταβάλλειν, καὶ ἀνάπαλιν ὅσοις ὁμολογεῖται ἡ τούτων εἰς ἄλληλα μεταβολὴ, ἀναγκαῖον φαίνεται ἔχειν τι κοινὸν ὑποκείμενον, τούτων γὰρ εἰ θάτερον, καὶ θάτερον ἐξ ἀνάγκης συμβαίνει. ὅσοι μὲν οὖν κατ' Ἐμπεδοκλέα μὴ ποιοῦσιν ἐξ ἀλλήλων τῶν στοιχείων γένεσιν καὶ μεταβολὴν, μηδ' ὡς ἐξ ἑκάστου ἕκαστον γινῶσιν. ἀλλ' ἀμετάβλητα ταῦτα ὄντα ἐξ ἐκείνων, μόνον ἐκκρίνουσιν ἐν οἷς ὑπάρχουσιν ἐνεργείᾳ, οἷον ὥσπερ ὥς τις ἐκ τοίχου τὰς ἐνεργείᾳ πλίνθους ἐξάγει, ἄτοπα φάσκουσιν, οὐ γὰρ δύνανται λέγειν πῶς ἐκ τούτων σάρκες καὶ ὀστᾶ γίνονται, καὶ τῶν ἄλλων ὁτιοῦν, ταῦτα γὰρ ὀφείλει ὁμοιομερῆ γενέσθαι καθ' ὁτιοῦν μόριον, εἰ δὲ ἐκ τῶν στοιχείων ἀμεταβλήτων ὄντων συνίσταται ὁτιοῦν μόριον τῶν μιγέντων κατὰ παράθεσιν ὡς οὐ μικτὸν, οὔτε τὸν αὐτὸν ἕξει λόγον τῷ ὅλῳ. ὥστε οὐδὲ ἐν τῇ τῶν στοιχείων ἐκκρίσει ἐκ τῶν μικτῶν γενήσεται ὁτιοῦν ἐξ ἑκάστου. ὥσπερ γὰρ ἥκιστά τις πλίνθον ἐξάγει ἐκ τοῦ τοίχου, εἰ μὴ ὅπου πλίνθος, πηλὸν δὲ ὅπου πηλὸς, οὕτως οὐδὲ Πῦρ ἐκ γῆς ἐκκρινεῖ, οὐδ' Ἀέρα, οὐδ' Ὕδωρ, ἀλλὰ Πῦρ μὲν ἔνθα Πῦρ, γῆν δὲ καὶ Ἀέρα ἔνθα τὰ αὐτὰ, καίτοι καὶ καθ' ἡμᾶς τοὺς ἐξ ἀλλήλων γινῶντας ἀπορίαν ἔχει τὸ λεγόμενον, πῶς ἐκ τῶν τεττάρων στοιχείων γίνεται σὰρξ καὶ ὀστοῦν, ἕτερόν τι ὂν παρὰ τὰ τέσσαρα. τὰ μὲν γὰρ ἁπλᾶ ὅτι ἐξ ἀλλήλων γίγνεται, οἷον ἐκ πυρὸς ὕδωρ, καὶ ἐξ ὕδατος πῦρ φανερὸν ἔχει τὸ αἴτιον. ἔστι γὰρ τούτοις κοινὸν τὸ ὑποκείμενον, τὰ δὲ εἴδη ἐναντία, ταῦτα δὲ ῥᾳδίως πέφυκε μεταβάλλειν τοῦ κοινοῦ ὑποκειμένου ἀμείβοντος τὰς διαφορὰς, καὶ ἄλλοτε ἄλλας ὑποδύντος. σάρκα δὲ καὶ μυελὸν ἐκ τούτων μὲν γίγνεσθαι δῆλον, τίνα δὲ τρόπον γίνεται οὐκ ἔτι. πειρῶνται γὰρ καὶ οἱ ἀμφὶ τὸν Ἐμπεδοκλέα τὸν τρόπον ἀποδοῦναι, καθ' ὃν ἐκ τῶν στοιχείων γίγνεται τὰ μικτά. φασὶ γὰρ ὅτι τῶν στοιχείων κατακερματιζομένων μὲν εἰς μικρὰ, καὶ κατὰ μικρὰ παρ' ἄλληλα συγκειμένων, σωζομένων ὅμως κατὰ τὰς οὐσίας γίγνεται τὸ μίγμα, ὥστε ἀνάγκη τὴν μίξιν σύνθεσιν εἶναι τοιαύτην, οἵα ἐστὶ τοῦ τοίχου ἐκ πλίνθου, καὶ λίθων, τοῦτον οὖν τὸν τρόπον σὰρξ καὶ τῶν ἄλλων ἕκαστον γίγνεται κατ' Ἐμπεδοκλέα. συμβαίνει δ' ὅμως τοῖς ὑπ' αὐτοῦ λεγομένοις τὸ ἄτοπον τοῦτο, ὅτι μὴ ἐξ ὁτιοῦν μέρους οἷον σαρκὸς γίγνεται τὰ στοιχεῖα, ὥστε οὐδ' ὁτιοῦν μέρος σαρκὸς μικτὸν, εἶναι καὶ σάρκα. ὅτι δ' ἀληθὲς μὴ ἐξ ὁτιοῦν μέρους τοῦ μικτοῦ γίγνεται Πῦρ καὶ Ὕδωρ. φανερὸν ἐπὶ παραδείγματος τοῦ κηροῦ, καθάπερ γὰρ ἐκ τούτου ἐκ μὲν τουδὶ τοῦ μέρους γίγνεται σφαῖρα, ἐξ ἄλλου δέ τινος πυραμὶς, οὕτως ἐκ τοῦ μικτοῦ, ἐκ μὲν τουδὶ τοῦ μέρους γίγνεται Πῦρ,

ἐκ

ΙΩΑΝΝΙΝΑ 2006

ἐκ δὲ τουδὶ Ὕδωρ, ἀλλ' οὐκ ἐξ ὁτουοῦν τῶν τεττάρων ἕκαστον, ἀλλ' ὅμως ἐξ αὐτοῦγε τοῦ προτεθέντος παραδείγματος ῥᾴδιόν ἐστι τὴν τοιαύτην ἐξελέγξαι δόξαν. ὥσπερ ἐπὶ τοῦ κηροῦ ἐνδέχεται ἐξ ἑκατέρου γενέσθαι ἑκάτερον, καὶ ἐκ τοῦ ποιήσαντος τὴν σφαῖραν μέρους διαπεπλάσθαι πυραμίδα, καὶ ἐκ τοῦ τὴν πυραμίδα σφαῖραν. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς σαρκὸς ἐνδέχεται ἐξ ὁτουοῦν μέρους ἄμφω γενέσθαι, οἷον Πῦρ καὶ Ὕδωρ, ἀλλὰ μὴ ὥσπερ ἐκεῖνο λέγουσιν ἀδύνατον ἐξ ὁτουοῦν μέρους ἑκάτερον γενέσθαι, ἀλλὰ καθάπερ ἐξ ὅλου μὲν τοῦ τοίχου λίθος καὶ πλίνθος ἐξάγεται, ἀλλ' ἐξ ἄλλου τόπου καὶ μέρους, οὐδὲ γὰρ ἐκ τῶν πλίνθων ἐκκειθεῖσιν αὖ λίθοι, οὐδὲ ἐκ τῶν λίθων πλίνθοι. οὕτως οὐδ' ἐξ ὁτουοῦν μέρους σαρκὸς, καὶ ὀστοῦ, Ὕδωρ καὶ Πῦρ ἐξάγεσθαι δυνατὸν, ἀλλὰ Πῦρ μὲν ἐξ ἄλλου τόπου καὶ μέρους, ἐξ ἄλλου δὲ Ὕδωρ. τοιαῦτα τοίνυν ἄτοπα συμβαίνει τῇ τοῦ Ἐμπεδοκλέους ὑποθέσει. ἀλλὰ καὶ ἡμῖν ὡσαύτως τοῖς ποιοῦσι μίαν τῶν στοιχείων τὴν ὕλην πρόκειταί τις ἀπορία ὡς ἐλέγετο, πῶς ἔσται τι ἕτερον ἐξ ἀμφοτέρων. οἷον ψυχροῦ καὶ θερμοῦ, ἢ Πυρὸς καὶ Γῆς, καὶ γὰρ ἡ σὰρξ ἐξ ἀμφοῖν σύγκειται. Ἀπορεῖται, πότερον μηδέτερον ἐκείνων, μηδὲ κατὰ τὴν σύνθεσιν σωζομένων μένει, ἢ μένουσιν ἀμετάβλητα ἄμφω καὶ σώζεται, καὶ εἰ μὲν οὐ σώζεται οὐδὲν λείπεται πλὴν ὕλην εἶναι τὸ ἐξ ἐκείνων γενόμενον, ὁπηνίκα γὰρ θάτερον τῶν ἐναντίων φθαρῇ, ἢ τὸ ἕτερον γίγνεται, ἢ λείπεται γυμνὴ ὕλη, καὶ γὰρ ἐπειδὴ ἡ μεταβολὴ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον ἐστὶν, εἰ μὴ γίγνεται τῶν ἐναντίων θάτερον, οὐδέν τι ἕτερον ἐπὶ τῆς ὕλης ἔσται, εἰ δὲ σώζεται, ὀρθῶς αὖ ἔλεγεν Ἐμπεδοκλῆς κατὰ σύνθεσιν ποιῶν τὴν μίξιν. Λύεται δὲ ὁμῶς εὐμαρῶς ἡ τοιαύτη ἀπορία κατὰ τὴν ἡμετέραν ὑπόθεσιν, ἐπειδὴ γὰρ ἡμεῖς τὰ τῶν στοιχείων εἴδη, οἷον τὸ θερμὸν καὶ ψυχρὸν, ἐπιδέχεσθαι βουλόμεθα τὸ μᾶλλον καὶ τὸ ἧττον, φανερὸν ὅτι ταῦτα διχῶς λέγεται, ἢ ἄκρως καὶ ἁπλῶς μὴ παραβαλλόμενον θάτερον ἑτέρῳ, ἢ μὴ παντελῶς. ὅταν μὲν οὖν ἁπλῶς ᾖ θερμὸν ἢ ψυχρὸν ἐντελεχείᾳ μέν ἐστι τοιοῦτον, δυνάμει δὲ τὸ ἀντίστοιχον, ὅταν δὲ μὴ παντελῶς, οὔτε ἁπλῶς ᾖ θερμὸν ἢ ψυχρόν. ἀλλὰ κατά τι μὲν τὸ θερμὸν ψυχρὸν, τὸ δὲ ψυχρὸν θερμὸν, διὰ τὸ τὰς ὑπεροχὰς ἀλλήλων ἐφθάρθαι ἐν τῇ μίξει διὰ τοῦ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων, τότε οὐδέτερόν ἐστιν ἐντελεχείᾳ ἁπλῶς, ἀλλ' ἀμφότερα δυνάμει. τούτων οὖν οὕτως ὑποτεθέντων οὔτε σώζεσθαι φαμὲν τὰ στοιχεῖα κατὰ τὰς ὁλοσχερεῖς οὐσίας ἐν τῇ μίξει, ἵνα μὴ ἡ μίξις σύνθεσις ᾖ μόνον τῶν παρακειμένων, οὔτε παντελῶς φθείρεσθαι, ἵνα μὴ μένῃ ἀνείδεος ἡ ὕλη, ἀλλὰ τὰς μὲν ὑπερβολὰς ἀναιρεῖσθαι, μένειν δὲ ἀνειμένας τὰς τῶν στοιχείων ποιότητας, ὥστε μὴ τῶν ἐναντίων ἑκάτερον ἐντελεχείᾳ μένειν ἁπλῶς, ἀλλὰ μεταξύ τι γί-

γνεσθαι ἐκ τῆς τῶν ἐναντίων κράσεως, καὶ τούτῳ εἰδοποιεῖσθαι τὴν ὕλην. ἐκ τούτου δὴ φανερὸν ὅτι τὰ μικτὰ διαφέρουσιν ἀλλήλων διάφορον κεκληρωκότα τὸν τῆς μίξεως λόγον, ἐπειδὴ γὰρ τὸ μεταξὺ ὃ δυνάμει ἐστὶ τῶν ἄκρων ἑκάτερον οὐκ ἐν ἀδιαιρέτῳ ὑπάρχει. ἀλλὰ δύναται μᾶλλον εἶναι θερμὸν, ἢ ψυχρὸν, ἢ τοὐναντίον μᾶλλον ψυχρὸν, ἢ θερμὸν, φανερὸν ὅτι τὰ μικτὰ διαφέρουσι τὸν τρόπον τοῦτον ἀλλήλων, ὅτι δύναται θερμὸν εἶναι ἢ ψυχρὸν διπλασίως ἢ τριπλασίως, ἢ κατ᾽ ἄλλον τρόπον τοιοῦτον. Ἔτι δὲ δῆλον ἐκ τῶν εἰρημένων, πῶς ἐκ μὲν τῶν ἁπλῶν σωμάτων γίγνεται τὰ σύνθετα μιχθέντων, οὐδὲν δὲ διαφέρει εἰ μίγνυσθαι φαμὲν αὐτὰ τὰ στοιχεῖα, ἢ τὰ ἐναντία οἷς τὰ ἁπλᾶ εἰδοποιεῖται σώματα, καὶ πῶς τὰ στοιχεῖα ἐκ τῶν μικτῶν γίγνεται δυνάμει ὄντων τὰ ἐξ ὧν συνετέθη, οὐχ ἁπλῶς καθάπερ ἐστὶ θάτερον τῶν ἐναντίων τὸ ἕτερον, ἀλλά πως οἷα μεταξὺ καὶ κοινὸν, ὅθεν φαμὲν μὲν δυνάμει τὸ μικτὸν εἶναι τὰ στοιχεῖα, φαμὲν δὲ καὶ αὐτὴν τὴν ὕλην δυνάμει εἶναι πρὸς αὐτὰ, ἀλλὰ κατὰ τρόπον διάφορον. ἡ μὲν γὰρ ὕλη οὐδέν ἐστιν ὅλως τῶν στοιχείων ἐνεργείᾳ, τὸ δὲ μικτὸν σώζει τὰ στοιχεῖα ἐνεργείᾳ, καίτοι μὴ κατὰ τὰς ὑπεροχὰς, οὐδὲ εἰλικρινῆ. φανερὸν οὖν ὅτι οὕτω μὲν ἡ μίξις λέγεται δυνάμει, ὡς ἔχουσά τι τῶν ἁπλῶν εἰδῶν ἐνεργείᾳ, ἐκείνως δὲ ἡ ὕλη δυνάμει ἐστὶ τὸ γιγνόμενον ὡς μηδὲν ἴχνος ἔχουσα τοῦ εἴδους αὐτοῦ. Τούτων δὲ ὄντων οὕτως εἴπωμεν κεφαλαίῳ ἀναλαβόντες ἄνωθεν, ὅτι ἐπειδὴ πέφυκε τἀναντία ποιεῖν τε καὶ πάσχειν ὑπ᾽ ἀλλήλων ὡς ἀνωτέρω διώρισται, καὶ γὰρ τὸ ἐνεργείᾳ ψυχρὸν δυνάμει ἐστὶ θερμὸν, τὸ δὲ δυνάμει ἐνεργείᾳ δύναται γενέσθαι, ἄρα τοὐναντίον δύναται μεταβάλλειν εἰς τὸ ἐναντίον. τοῦτο δὲ γίγνεται διὰ ποιήσεως καὶ παθήσεως, φανερὸν ὅτι τὰ στοιχεῖα δρῶντα καὶ πάσχοντα ὑπ᾽ ἀλλήλων, εἰ μὲν μὴ ἰσάζει μεταβάλλει εἰς ἄλληλα, καὶ τοῦτον τὸν τρόπον μεταβάλλει τὸ ἐναντίον εἰς τὸ ἐναντίον καὶ γίγνεται τὸ ἐναντίον, εἰ δὲ μὴ μεταβάλλει εἰς ἄλληλα, ἀλλ᾽ ἐξισάζει κατὰ τὰς δυνάμεις, καὶ μηδέτερον κρατεῖ τοῦ ἑτέρου γίγνεται τὰ μεταξὺ, οἷον σάρκες, καὶ ὀστᾶ, καὶ τὰ τοιαῦτα, τοῦ γὰρ θερμοῦ γινομένου ψυχροῦ, τοῦ δὲ ψυχροῦ θερμοῦ τῆς ἀκρότητος ἀναιρουμένης τὸ σύγκραμμα γίνεται διὰ τὴν μανότητα τῶν ἀλλοιωθεισῶν ποιοτήτων. φανερὸν δὲ καὶ τὸ αἴτιον, δι᾽ ὃ τὰ μὲν μικτὰ σχεδὸν εἰσὶν ἀναρίθμητα, τέτταρα δὲ μόνα τὰ ἐξ ὧν σύγκειται, καὶ γὰρ πρὸς τὸ μέσον ἐλθόντων τῶν ἐναντίων γίγνεται τὸ μεταξὺ, ὃ οὐθ᾽ ἕτερόν ἐστιν ἐνεργείᾳ, τὸ δὲ μέσον οὐκ ἀδιαίρετον ἀλλὰ πολὺ καὶ ἐν πλάτει, ἑκάστης γὰρ ποιότητος πλειόνων ὄντων τῶν μερῶν καὶ μιγνυμένων κατὰ διάφορον ἄνεσιν καὶ ἐπίτασιν τὸ τῶν μικτῶν ἀναφύεται πλῆθος, οὐ μόνον δὲ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ κολαζομένων γίγνεται σὰρξ καὶ ὀστοῦν, ἀλλὰ καὶ τῶν ἄλλων

ποιο-

ΙΩΑΝΝΙΝΑ 2006

ποιοτήτων, οἷον ξηροῦ καὶ ὑγροῦ, καὶ γλυκέος καὶ πικροῦ ἐν μεσότητι καθισαμένων.

## ΚΕΦΑΛΑΙΟΝ, ΟΓΔΟΟΝ.

### Ὅτι ἅπαντα σώματα ἐξ ἁπάντων συνέστηκε τῶν ἁπλῶν.

Ἐπειδὴ οὖν τὰ στοιχεῖα οὐ παντελῶς εἰς ἄλληλα μεταβάλλοντα καὶ κατὰ μεσότητα τῶν ἐν αὐτοῖς ποιοτήτων συμφυῆ γινόμενα σάρκας ἀποτελοῦσι, καὶ ὀστᾶ καὶ τὰ τοιαῦτα. φανερὸν ἐστὶν ὅτι ἅπαντα τὰ μικτὰ σώματα ὅσα περὶ τὸν τοῦ μέσου τόπον ἐστὶ (καὶ γὰρ ἐν τούτῳ τὰ μικτὰ σχεδὸν ἅπαντα γίγνεται) ἐξ ἁπάντων σύγκειται τῶν ἁπλῶν, ὃ καὶ διχῶς ἀποδείκνυται μάλιστα, καὶ πρῶτον μὲν διὰ τῆς τῶν ἁπλῶν σωμάτων ἀπαριθμήσεως. ὅτι μὲν γὰρ Γῆ πᾶσιν ἐνυπάρχει δείκνυται, τὰ γὰρ μικτὰ πάντα ὡς εἴρηται ἐν τῷ περὶ τὸν μέσον γίγνεται, ἐν ᾧ ἡ Γῆ τίθεται, ἀλλαμὴν ἕκαστον ἐν τῷ οἰκείῳ τόπῳ μάλιστα, καὶ πλεῖστον ἐστὶ καὶ προσγίγνεται τοῖς ἐν τῷ τοιούτῳ τόπῳ γιγνομένοις, ἄρα πᾶσιν ὑπάρχει ἡ Γῆ τοῖς μικτοῖς. ὡσαύτως δὲ καὶ Ὕδωρ ἐνυπάρχει δυοῖν ἕνεκα. Πρῶτον μὲν γὰρ δεῖ τὰ μικτὰ ὁρίζεσθαι καὶ σχηματίζεσθαι, τῶν δὲ ἁπλῶν σωμάτων τὸ Ὕδωρ ἐστὶ μόνον ὁριστικὸν, ὥστ' ἔνεστι τοῖς μικτοῖς, ἵν' ὥσπερ κόλλῃ τούτῳ συμπλακῇ τὸ γεῶδες καὶ συμμορφωθῇ. Δεύτερον ἐπειδὴ καθ' ἑαυτὴν καὶ ἄνευ τοῦ ὑγροῦ ἡ Γῆ οὐ δύναται συμμένειν, οὐδ' ὑφίστασθαι, ἀλλὰ διαπίπτει, ἀνάγκη ἐστὶ συνεῖναι τὸ ὑγρὸν ὥσπερ συνέχον τὴν γῆν· διὸ δὴ τελέως ἐξαιρεθέντος ἐκ γῆς τοῦ ὑγροῦ διαλύεται τὸ ξηρόν. Τούτων οὖν ἕνεκα Γῆ καὶ Ὕδωρ ἐνυπάρχουσι τοῖς μικτοῖς. ὅτι δὲ Ἀὴρ καὶ Πῦρ ἐνυπάρχει κἀκ τούτου πρόδηλον, τὸ γὰρ μικτὸν γίγνεται τῷ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων τὰ ἐναντία, καὶ τὰς ὑπεροχὰς ἀποβάλλειν, ὥστε τὰς τούτων ἀνέσεις ἐκ τῶν ἐναντίων εἶναι λέγεσθαι. ἐνυπάρχειν δὲ εἴρηται ἐν τῷ μικτῷ Γῆ καὶ Ὕδωρ, ὧν τὸ μὲν πυρὶ ἐναντίον, τὸ δὲ τῷ ἀέρι, ἄρα ἐνυπάρχει καὶ τὰ τούτοις ἀντίστοιχα, ὥστε ἐν ἅπαντι τῷ μικτῷ πάντα τὰ ἁπλᾶ ἔνεστιν· ἃ τὴν ὁρμὴν τῆς μεταβολῆς εἰς τὸ ἐναντίον πεποιηκότα διὰ τὴν τῶν δυνάμεων ἰσότητα εἰς ἕν τι κοινὸν καὶ μεταξὺ συναρμόζεται, ὁπηνίκα δὲ οὐσίᾳ λέγομεν ἐναντίαν οὐσίαν, οἷον τῷ Πυρὶ τὸ Ὕδωρ, καὶ τῷ Ἀέρι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

τὴν Γῆν οὐ καὶ τὸ ὅλον τοῦθ' ὑπολειπτέον, ἀλλ' ὡς ἐνδέχεται, καὶ μὲν γὰρ τὸ ὑποκείμενον πάντε στοιχεῖα, καὶ τὰ ἐκ τούτων κοινωνοῦσι, διαφέρουσι δὲ κατὰ τὰς εἰδοποιοὺς διαφοράς, καθ' ἃς καὶ ἐναντίωσιν ἔχουσι. Δεύτερον δὲ καὶ σημείῳ δείκνυται ὅτι πάντα τὰ ἁπλᾶ ἐνυπάρχει τοῖς μικτοῖς, τοῦτο γὰρ ἔοικε καὶ ἡ τροφὴ μαρτυρεῖν ἑκάστῳ. ἅπαντα γὰρ τρέφεται τοῖς αὐτοῖς ἐξ ὧνπερ συνίσταται, ἅπαντα δὲ πλείοσι καὶ μικτοῖς τρέφεται, ἄρα καὶ ἐκ πλειόνων σύγκειται. εἰ δὲ καί τινι δοκεῖ μάλιστα μόνῳ τῷ τρέφεσθαι τῷ ὕδατι τὰ φυτά, ἐμμελέστερον ἐμβλέψαντι φανερόν ἐστιν ὅτι πλείοσι τρέφεται. ὃ γὰρ ἐστὶ προχειρότερον συνιδεῖν σαφῶς μέμικται τῷ ὕδατι γῆ, διά τοι τοῦτο καὶ οἱ γεωργοὶ οἷον τροφὴν προσνέμοντες τοῖς φυτοῖς μίξαντες τῇ κόπρῳ τὰ δένδρη ἔπειτα ἀρδεύουσιν. εἰ δὲ ἐκ Γῆς καὶ Ὕδατος τρέφεται τὰ μικτά, ἐξ ἀνάγκης ἐκ Πυρὸς ὁμοῦ καὶ Ἀέρος τραφήσεται. ὅπου γὰρ θάτερον τῶν ἐναντίων ὑπάρχει κεκολασμένον πρόσεστι καὶ θάτερον ἐξ ἀνάγκης. ἐπειδὴ δὲ ἡ μὲν τροφὴ ὕλη ἐστὶ τοῦ τρεφομένου, τὸ δὲ συνειλημμένον τῇ ὕλῃ οἷον ἡ μορφὴ καὶ τὸ εἶδος ἐστὶ τὸ τρεφόμενον, ἀλόγως τινὲς τῶν πάλαι λέγουσι καί τοι τῶν στοιχείων πάντων ἐξ ἀλλήλων γιγνομένων, ὅμως τὸ Πῦρ μόνον τῶν ἁπλῶν σωμάτων τρέφεσθαι, καθάπερ ὁ ποιητὴς εἶπε. „ τοὺς ἅμασσι πάντα Πῦρ ἐσθίει. τρέφεται γὰρ ὅπερ ὑπομένει, ὑπομένει δὲ τὸ εἶδος, ἄρα τοῦτο τρέφεται, καὶ ὅσα τούτου λόγον ἔχει, οἷον ἐστὶ τὸ Πῦρ τῶν ἄλλων μάλιστα οἷον εἶδος ὄν, ἕκαστον γὰρ πέφυκεν εἰς τὴν ἑαυτοῦ φέρεσθαι χώραν, τὸ δὲ Πῦρ πέφυκε φέρεσθαι πρὸς τὸν ὅρον, καὶ τὸ πέριξ, ἄρα τόπος αὐτοῦ οἰκεῖος καὶ κατὰ φύσιν ὁ ὅρος ὁ τἄλλα περιέχων, τὸ δὲ ἐν τῷ τοιούτῳ τόπῳ πλεῖστον ὁμοιοῦται τῷ εἴδει, ὡς γὰρ πᾶσι δοκεῖ τὸ εἶδος ἐν τοῖς ὅροις ἐστὶ καὶ τῇ τοῦ σώματος ἐπιφανείᾳ. εὐθὺς οὖν ἔχει λόγον πρὸς τὰ ὑφ' αὐτὸ τὸ Πῦρ, διὸ καὶ τρέφεσθαι λέγεται ἀλόγως, ὅτι μὲν οὖν ἅπαντα τὰ σώματα ἐξ ἁπάντων συνέστηκε τῶν ἁπλῶν, καθάπερ καὶ γίνεται ἐξ ἁπάντων εἴρηται.

## Σύντομος θεωρία, περὶ τὰς πρώτας ποιότητας.

Εἴ τις ἔν τε τοῖς λοιποῖς βιβλίοις καὶ ἐν τῷ Δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς τὴν τάξιν τῆς τοῦ Φιλοσόφου διδασκαλίας ἀκιβδήλως τε καὶ εὐσυνειδότως ἐποπτεύσει, καὶ ὅλως εἰς ἔκπληξιν ἁρπαγείς, ὡς ἄριστον πάσης θεωρίας τέλος, ἢ μυρίοις ἐγκωμίοις ἐξυμνήσει τὸν Σταγειρίτην, ἢ σιγῇ θαυμάσει. τοῦτο γὰρ ἴσως ἐστὶ τῷ τοῦ ἀνδρὸς μεγέθει πρεπωδέστερον μάλιστα παρὰ τοῖς ἐν τῷ περιπάτῳ, ὧν οὐ τὸ ἐπαίνους συνείρειν τῶν λεγομένων ἴδιον, ἀλλὰ τὸ βάθος τῆς διανοίας ἀν-



ΙΩΑΝΝΙΝΑ 2006

χνεῦσαι· καὶ εἰς φῶς ἀγαγεῖν, ὥς γε καὶ ἡμεῖς τὰ νῦν ποιήσωμεν, ἢ δυνάμεως ἔχομεν. σκοπιμώτατον ἦν τῷ Φιλοσόφῳ ἐν τῷ παρόντι βιβλίῳ οὐχ ἁπλῶς γε μόνον τὴν γένεσιν ἀποδοῦναι καὶ φθορὰν τῶν ὄντων, ἀλλὰ καὶ τὸν τρόπον ὅπως γίγνεται. Ἐπειδὴ οὖν τὰ καλούμενα στοιχεῖα αὐτά τε εἰς ἄλληλα εἰσὶ μεταβλητικὰ, καὶ τῆς τῶν ἄλλων γενέσεως παραίτια, εὐλόγως ἐπὶ τούτων ἵστησι τὴν σκέψιν, καὶ τὸν τρόπον διδάσκει θαυμασίως τῆς τούτων εἰς ἄλληλα μεταβολῆς, καὶ ὅπως διὰ αὐτὸ τοῦτο τὸ πεφυκέναι εἰς ἄλληλα μεταβάλλειν ἀποτελοῦσι τὰ μικτά. Πρῶτον μὲν οὖν κοινόν τι πᾶσιν ὑπάρχειν δείκνυσιν, ὃ καὶ ὡς ὑποκείμενον ὑποστρώννυσιν, ἀγέννητον μὲν ὂν καὶ ἄφθαρτον, δυνατὸν δὲ ἁπασῶν εἴδει κοσμεῖσθαι, τῆς τε τῶν γενέσεων ἀϊδιότητος καὶ τῆς τούτων ποικιλίας αἰτίαν οὖσαν, ὡς ἐν ὕλης λόγῳ ἀποχρῶσαν, ἐποικοδομεῖ δὲ ἐπὶ τοῦ τοιούτου ὑποκειμένου τὰς τῶν ποιοτήτων ἐναντιώσεις τῇ εἰς ἀλλήλας ποιήσει τε καὶ παθήσει, τοῦ κοινοῦ δεκτικοῦ ἐξωθητικὰς ὑπαρχούσας, ἵνα θατέρου τῶν ἐναντίων ἀπογιγνομένου, θάτερον κατακρατῇ, καὶ τῇ ὕλῃ συμπλεκόμενον τὸ Φυσικὸν ἀπεργάσηται σῶμα. Ἐκ τῶν ποιοτήτων οὖν καὶ τῆς ὕλης κατὰ τὰς δυνατὰς συζεύξεις τὰ Τέσσαρα καὶ πρῶτα αἰσθητὰ σώματα τεκταίνεται, ἅπερ ὡς κοινὸν ἔχοντα τὴν ὑποκειμένην ὕλην, καὶ δραστικὰς τὰς εἰδοποιοὺς διαφορὰς, τὴν εἰς ἄλληλα μεταβολὴν ποιεῖ ταῖς δυνάμεσι περιγιγνόμενα, ἐξισάζοντα δὲ εἰς κοινόν τι καὶ συμφυὲς μεθίσταται, ἐξ ὧν φανερὸν ὅτι πάσης γενέσεως καὶ φθορᾶς ἢ τῆς ἁπλῆς ἢ τῆς κατά τι οἷα ἡ μίξις ἐστὶ, προσεχεῖς μὲν ἀρχαὶ τὰ τέσσαρα αἰσθητὰ σώματα, πρότερα δὲ τῇ φύσει, τὰ ἐξ ὧν αὐτὰ ταῦτα σύγκειται, Αἵ τε ποιότητες καὶ ἡ Ὕλη, καὶ ταῦτα μὲν ὁ Φιλόσοφος ἄχρι τοῦ ἐννάτου κεφαλαίου ἀριδήλως ἐκτίθησιν ἑκασταχοῦ τὰς τῶν πάλαι δόξας βασανίζων, ἵνα τοῖς τούτων ἐλέγχοις λαμπρότερον ἡ ἀλήθεια καταφαίνηται. Ἐπειδὴ δὲ ἐνταῦθα εἰδικώτερον γένεσις καὶ φθορὰ τεθεώρηται, ἀνάγκη καὶ οἰκεῖόν τι ταύτης ποιητικὸν ἀποδοῦναι, ὅθεν τοῦτο δείκνυσιν ἀπὸ τοῦ ἐννάτου κεφαλαίου ἄχρι τέλους, ὥσπερ γὰρ ἐν τῇ Φυσικῇ Ἀκροάσει καθόλου τὰς ἀρχὰς τῆς γενέσεως ἐκθέμενος, καὶ τὸν περὶ τοῦ ποιητικοῦ λόγον κοινότερον ἀποδέδωκεν, οὕτως ἐν τῷ παρόντι βιβλίῳ μᾶλλον ἐπὶ μέρους τὴν γένεσιν σκεψάμενος, καὶ τὸ ποιητικὸν ὁμοίως ἀνιχνεῦσαι πειρᾶται. Ἐπειδὴ δὲ τὰς ἀνακυπτούσας περὶ τὴν τοῦ Φιλοσόφου λέξιν ἀπορίας τὰς πλείους ἀθίκτους παραλείπομεν ἐν τῇ παραφράσει, ἵνα μὴ ἡ τοῦ λόγου συνέχεια διακόπτηται, φέρε δὴ νῦν ταύτας ἐπισκεψώμεθα τῆς τοῦ Φιλοσόφου τάξεως ὁμοῦ καὶ διδασκαλίας ἀκριβῶς ἐχόμενοι, ἀλλὰ περὶ μὲν τῆς ὕλης καὶ τοῦ κοινοῦ ὑποκειμένου ἄλλοθι διὰ μακροτέρων εἴρηται, ἐν βραχεῖ τοίνυν περὶ τῶν ποιοτήτων τοὺς λόγους ποιήσαντες ἐπὶ τὴν τῶν

στοιχείων θεωρίαν μεταβῶμεν, ταῦτα γὰρ τὰ ἴδια καὶ ὁ Φιλόσοφος ὡς ἀρχὰς παραλαμβάνει.

## ΚΕΦΑΛΑΙΟΝ, ΠΡΩΤΟΝ.

### Πότερον αἱ πρῶται ποιότητες τέτταρές εἰσι;

ΠΡὶν ἢ τὸν ἀριθμὸν διορίσωμεν τῶν πρώτων ποιοτήτων, σημειῶσαι δεῖ πρῶτον, ὅτι οὐ παντὸς σώματος ποιότητας ἐνταῦθα ζητοῦμεν, ἀλλὰ τοῦ ἐν γενέσει καὶ φθορᾷ, καὶ τούτου οὐ τὰς διαφερούσας τῇ ἀξίᾳ, ἀλλὰ τὰς πρωτευούσας τῇ τάξει τῆς Φύσεως, τὰς δὲ τοιαύτας σώζειν ἀνάγκη τὰς ἐκτεθείσας ἰδιότητας πρώτῳ Φυσικῶν μορίῳ μβ'., ὥστε μήτε ἐξ ἄλλων εἶναι, μήτε ἐξ ἀλλήλων, καὶ ἐκ τούτων πάντα, ἐπειδὴ γὰρ οὐκ εἰσὶν ἐξ ἄλλων, πρῶται λέγονται εἰκότως. Ἴσα δὲ πρῶται καὶ ἐναντίαι, ὅτι μήτε ἐξ ἀλλήλων· ὅτι δὲ ἐκ τούτων πάντα κοινόταταί εἰσι παντὶ θνητῷ σώματι, καὶ μάλιστα τῶν πρώτων καὶ ἁπλῶν συστατικαί. Ἔτι δὲ ποιητικαὶ καὶ παθητικαί, ἐκ γὰρ τῶν πρώτων αἰσθητῶν σωμάτων τῷ ποιεῖν εἰς ἄλληλα καὶ πάσχειν τἆλλα γίγνεται. Τελευταῖον ἁπταὶ ὀφείλουσιν εἶναι αἱ τοιαῦται ποιότητες, σώματος γὰρ αἰσθητοῦ, μάλιστα δὲ ἁπτοῦ ἀρχὰς θηρεύομεν. Τούτων δὲ οὕτως ὑποκειμένων ἐπειδὴ ἑπτὰ ὑπάρχουσιν ἐναντιώσεις τῶν ἁπτῶν ποιοτήτων, φανερὸν ὅτι πρῶται ἔσονται ὅσαι τὰς ἀνωτέρω σώζουσιν ἰδιότητας. Ἁφῇ μὲν οὖν αἰσθηταὶ ποιότητές εἰσι Τὸ θερμὸν καὶ ψυχρόν, Τὸ ὑγρὸν καὶ ξηρόν, Τὸ βαρὺ καὶ κοῦφον, Τὸ τραχὺ καὶ λεῖον, Τὸ σκληρὸν καὶ μαλακόν, Τὸ παχὺ καὶ λεπτόν, Τὸ γλίσχρον καὶ κραῦρον. Ἀπορήσειε δ' ἄν τις εἰκότως τίνος ἕνεκεν παρ' ἡμῶν, καὶ παρὰ τοῦ Φιλοσόφου τὸ μανὸν καὶ τὸ πυκνὸν παρείληπται, καίτοι τὴν τούτων ἐναντιότητα ἀριθμεῖ ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ περὶ μερῶν ζώων κεφ. α'. Ἔτι δὲ ὀγδόῳ Μεταφυσικῶν περὶ τὴν ἀρχήν. μάλιστα δὲ ὀγδόῳ Φυσικῶν τεμαχίῳ νε'. τὴν πύκνωσιν καὶ μάνωσιν ἀρχὰς ποιεῖται τῶν ποιοτήτων. λέγει γάρ. Ἔτι δὲ πάντων τῶν παθημάτων ἀρχὴ πύκνωσις καὶ μάνωσις, καὶ γὰρ βαρὺ καὶ κοῦφον, καὶ μαλακὸν καὶ σκληρόν, καὶ θερμὸν καὶ ψυχρὸν πυκνότητες δοκοῦσι καὶ ἀραιότητες εἶναι τινές, πῶς οὖν ἐνταῦθα παραλείπονται, καὶ ταῦτα λόγον ἀρχῶν ἔχουσαι; Ἔτι δὲ τὸ ἀμβλὺ καὶ ὀξὺ ποιότητές εἰσιν, ὥστε καὶ ταύτας ἔδει συναριθμήσασθαι. ἢ ὅτι ἀρχὰς ὁ Φιλόσοφος εἴρηκε τὸ μανὸν καὶ πυκνὸν κατὰ τὴν τῶν πάλαι δόξαν. προστίθησι γάρ,

πύκνωσις δὲ καὶ μάνωσις, σύγκρισις καὶ διάκρισις καθ' ἃς καὶ γένεσις λέγεται καὶ φθορὰ τῶν οὐσιῶν. Ηʹ ὅτι τὸ μανὸν καὶ πυκνὸν οὐχ ἢ ποιότητες ἀρχαὶ εἰσὶν, ἀλλ' ἢ τῇ τῶν μερῶν ἕπονται θέσει καὶ κινήσει, κἀπειδὴ ἡ κατὰ τόπον κίνησις ἐκ τοῦ ὀγδόου τῶν Φυσικῶν, πασῶν τῶν κινήσεων πρωτίστη ἐστὶν ἑπομένως μάνωσίς τε καὶ πύκνωσις ἀρχαὶ λέγονται πασῶν τῶν ποιοτήτων. ὅτι δὲ ἀραίωσις καὶ πύκνωσις εἰς τὴν κατὰ τόπον ὑπάγεται κίνησιν ἑβδόμῳ τοῦ Φυσικῶν μορίῳ δεκάτῳ ἐδίδαξεν ὁ Φιλόσοφος, δι' ὧν φησιν, ὁμοίως δὲ καὶ αἱ ἄλλαι συγκρίσεις, καὶ διακρίσεις, ἅπασαι γὰρ ἔσονται διώσεις καὶ συνώσεις, καὶ ὀγδόῳ Φυσικῶν μορίῳ οζʹ. τὴν μὲν διάκρισιν καὶ σύγκρισιν κίνησίν φησι κατὰ τόπον, μανότητα δὲ καὶ πυκνότητα οἷον σύγκρισιν τινὰ καὶ διάκρισιν ἀποδέχεται, ἢ τὸ μανὸν καὶ πυκνὸν κατὰ τὴν ὑπὸ τοῦ αἰθέρος ἄνεσιν τῶν σωμάτων ἡγεῖται τῶν λοιπῶν ποιοτήτων, κατὰ δὲ τὴν τῶν σωμάτων ὑπ' ἀλλήλων μεταβολὴν μανότης καὶ πυκνότης ἕπεται τῷ θερμῷ καὶ ψυχρῷ, ὥστε τὰς πρώτας ποιότητας ζητῶν ὁ Φιλόσοφος τῶν ὧδε σωμάτων καθὸ πέφυκεν ἐξ ἀλλήλων γίγνεσθαι παραλείπει τὸ μανὸν καὶ πυκνὸν, ἢ ὡς εἰς τὴν τοπικὴν ὑπαγόμενα κίνησιν, ἢ ὡς ἐκ τῶν πρώτων ποιοτήτων παραγόμενα. περὶ δὲ τοῦ ὀξέως καὶ ἀμβλύος, ῥᾴδιος ἡ ἀπάντησις, ποιότητες γάρ εἰσιν ὑπὸ τὸ σχῆμα καὶ τὴν μορφὴν ὑπαγόμεναι, τὸ δὲ σχῆμα κοινὸν μὲν αἰσθητὸν λέγεται ἀλλ' οὐκ ἴδιον ἁφῆς, διὸ δὴ εἰκότως παραλείπεται ὑπὸ τοῦ Φιλοσόφου ἡ συζυγία ταύτης. Ἔτι δὲ τὸ ὀξὺ καὶ ἀμβλὺ οὐκ εἰσὶ καθ' ἑαυτὰ ποιητικὰ καὶ παθητικά, τῷ δὲ Φιλοσόφῳ σκοπὸς τὰς ποιητικὰς ἐρευνῆσαι ποιότητας. Ἔπειτα μὲν οὐσῶν τῶν ἐν τῷ ποιῷ ἐναντιοτήτων, τὸ μὲν βαρὺ καὶ κοῦφον ἀποβέβληται, πῆ μὲν ὅτι οὐκ εἰσὶ ποιητικὰ καὶ παθητικὰ, οὐδ' ἐκ τούτων γίνεται τὰ ἄλλα, πῆ δὲ ὅτι ἀπὸ τοῦ θερμοῦ καὶ ψυχροῦ γίγνονται. τὸ δὲ παχὺ καὶ λεπτὸν ὁμοίως ἀποδοκιμάζεται ὁ Φιλόσοφος, ὅτι τε οὐκ εἰσὶ ποιητικὰ, καὶ ὅτι ὑπὸ τὸ ὑγρὸν καὶ ξηρὸν ἀνάγεται. ὡσαύτως δὲ Τὸ γλίσχρον, καὶ κραῦρον, τὸ μὲν ὑπὸ τὸ ξηρὸν, τὸ δὲ ὑπὸ τὸ ὑγρὸν ἀναγόμενα, καὶ οὐδαμῆ δρῶντα οὔτε πάσχοντα οὐ λέγονται πρωτεύειν. πρόσθες ὅτι αἱ τοιαῦται ποιότητες οὐκ εἰσὶ διαφοραὶ τῶν ἁπλῶν σωμάτων περὶ ὧν ὁ λόγος ἐνταῦθα, διὰ δὲ τὰς αὐτὰς αἰτίας καὶ τὸ σκληρὸν καὶ μαλακὸν παραλείπεται. Τὸ δὲ τραχὺ καὶ λεῖον, πῆ μὲν ὅτι θέσιν μερῶν σημαίνουσι, πῆ δὲ ὅτι ποιητικῆς ἀμοιροῦσι δυνάμεως, καὶ τρίτον ὅτι καθάπερ φησὶν Ἀλέξανδρος ἐκ τοῦ ὑγροῦ γίνεται καὶ ξηροῦ οὐκ ἐν ἀρχῶν παραλαμβάνεται τάξει, τῶν ἄλλων μὲν οὖν ἁπασῶν ποιοτήτων ἀποβεβλημένων τοῖς δὲ τοῖς λόγοις λείπονται Τὸ θερμὸν καὶ ψυχρὸν, τὸ ὑγρὸν καὶ ξηρὸν, ἅπερ ἐπειδὴ ταῖς ἀνωτέρω τῶν ἀρχῶν ἰδιότησι σεμνύνονται, εὐλόγως πρῶται καλοῦνται καὶ εἰσί. Πρῶτον μὲν γὰρ μάλιστα

κινοῦσι τὴν τῆς ἀφῆς αἴσθησιν. Δεύτερον δὲ ἐπιφοιτῶσι τῇ ὕλῃ μηδεμιᾶς ἑτέρας ἡγουμένης ποιότητος, ἐπειδὴ τούτων αὐτῶν θατέρα θατέρας πρότερον ἐν τῇ ὕλῃ ὑπάρχει. Τρίτον δὲ πάντα τὰ ὑπὸ Σελήνην τούτων ἀμωσγέπως μετεσχήκασιν. ὥστε ὑπὸ τούτων μὲν εἰδοποιεῖσθαι τὰ ἁπλᾶ σώματα, γίγνεσθαι δὲ μίξιν καὶ κρᾶσιν, ἔτι δὲ γένεσιν καὶ φθορὰν, αὔξησιν καὶ φθίσιν, καὶ πέψιν καὶ τροφὴν, καὶ πρὸς τούτοις ἡλικίας ὅσαι διαφοραὶ, καὶ κλιμάτων, καὶ νόσων, μάλιστα δὲ αὐτὰς θανάτου καὶ ζωῆς, ὕπνου τε καὶ ἐγρηγόρσεως, γήρως τε καὶ νεότητος, ὑγείας τε καὶ παθῶν παραιτίους νομίζουσιν ἰατροί τε, καὶ Φυσιολόγοι πάντες ὁμοφώνως. ἐξ ὧν δῆλον ἐστὶν αὐτὰς μὲν, μήτε ἐξ ἄλλων εἶναι, μήτε ἐξ ἀλλήλων, ἀλλ' ἐκ τούτων πάντα. δι' ἅπερ εἰκότως ἀρχαὶ τίθενται. Τελευταῖον ἐκείνας δὴ τῶν ποιοτήτων ἀρχὰς οἴεσθαι χρὴ τοῦ θνητοῦ σώματος, καθ' ἃς αὐτὸ διήνεγκε τῶν αἰθερίων, αὗται δέ εἰσι θερμότης καὶ ψυχρότης, ὑγρότης τε καὶ ξηρότης, τὰ γὰρ ὑπὸ Σελήνην διαλλάττει τῶν αἰθερίων. Ὅτι τὰ μὲν ἀΐδια ἐστὶ καὶ ἀθάνατα, τὰ δὲ πέφυκεν εἰς ἄλληλα μεταβάλλειν, μεταβάλλει δὲ τῷ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων, ἡ δὲ ποίησις καὶ πάθησις διὰ τὰς ἐναντίας γίγνεται ποιότητας, ὥστε μάλιστα κατ' αὐτὰς ταύτας διαφέρει τὰ οὐράνια τῶν φθαρτῶν σωμάτων. Τούτοις δὲ τοῖς λόγοις κινούμενοι Πυθαγόρας πρῶτον ἐν ταῖς τῶν ἀρχῶν συστοιχείαις καταριθμεῖ τὸ θερμὸν, καὶ ψυχρὸν, τὸ ὑγρὸν καὶ ξηρὸν, Ἱπποκράτης δὲ ὁ κῷος. τέτταράς τε εἶναι δείκνυσι, καὶ ἀρχὰς πάσης γενέσεως καὶ μίξεως, οὓς τοὺς λόγους ἀρυσάμενος ὁ Φιλόσοφος, τὴν οἰκείαν καταρδεύει διδασκαλίαν, Πλάτων δὲ ἔν ἄλλοις τε καὶ ἐν τῷ τιμαίῳ τὴν ὕλην φησὶ τῇ τῶν ποιοτήτων τούτων ὑποδοχῇ πολυειδῆ φαίνεσθαι, ὁ δὲ Γαληνὸς ἁπανταχοῦ δι' αὐτῶν τάς τε τῶν μερῶν κράσεις, καὶ τὰς τῶν δυνάμεων ἐνεργείας, καὶ τὰς τῶν χυμῶν γενέσεις, καὶ τὰς τῶν νοσημάτων διαφορὰς ἀναπτύσσει. Τούτων δὲ πάντων ἄριστα ὁ Σταγειρίτης τήν τε ἀξίαν τῶν πρώτων ποιοτήτων ἐξέφηνε, καὶ ὅπως κατ' αὐτὰς τετραχῇ πρώτως ἡ κοινὴ ὕλη διανενέμηται. Ἔτι δὲ τὴν φύσιν αὐτῶν ἐξέθετο καὶ τὰς δυνάμεις, καὶ τὰς ἐνεργείας, ὥστε ῥᾷον ἐξεῖναι τὸ τοῦ ἡλίου φῶς ἀποφῆναι, ἢ τὴν ὕπαρξιν τούτων. Ἀλλ' ὅμως εἰσὶν οἵτινες σκότος βαθὺ κατασκεδάσαι πειρῶνται τῇ τοῦ Φιλοσόφου διδασκαλίᾳ τῇ πλοκῇ τῶν ἀπορημάτων. Πρῶτον μὲν γὰρ τὸ βαρὺ καὶ κοῦφον κατὰ πάντα τρόπον οἴονται πρωτεύειν ἐν τῷ τοῦ ποιοῦ γένει, μάρτυρα παρεχόμενοι τὸν Φιλόσοφον, ἐν μὲν τοῖς περὶ οὐρανοῦ περὶ τοῦ βαρέος καὶ κούφου διαλεγόμενον. Μετὰ ταῦτα ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς, περὶ τοῦ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, ὅθεν ἀποχρώντως συμπεραίνεσθαι δοκοῦσι τῶν εἰρημένων ποιοτήτων ἡγεῖσθαι τῇ φύσει τὸ βαρὺ καὶ κοῦφον, καὶ γὰρ ὁ Φι-



ΙΩΑΝΝΙΝΑ 2006

λόσοφος τῇ τάξει τῆς Φύσεως χρώμενος, περὶ τοῦ βαρέος καὶ κούφου πρότερον ποιεῖται τοὺς λόγους, τοῦτ' αὐτὸ δὲ καὶ λόγῳ συνιστῶσι τοιῷδε. ὧν γὰρ φασι ποιοτήτων ἡ κίνησις προτέρα κατὰ φύσιν, αὗται πρότεραί εἰσιν ἐξ ἀνάγκης, τῆς μὲν οὖν κατὰ τόπον κινήσεως ἀρχαὶ τὸ βαρὺ καὶ κοῦφον ὡς εἴρηται ἐν τοῖς περὶ οὐρανοῦ, τῆς δὲ ἀλλοιώσεως τὸ θερμὸν καὶ ψυχρόν, ἀλλὰ μὴν ὡς ὀγδόῳ δέδεικται τῶν Φυσικῶν, προτέρα τῆς ἀλλοιώσεώς ἐστιν ἡ φορά, ἄρα τοῦ θερμοῦ καὶ ψυχροῦ πρότερόν ἐστι τὸ βαρὺ καὶ κοῦφον. πρὸς ταῦτα δὲ ῥητέον, ὅτι οὐ διαβέβληται ἡ τοῦ Φιλοσόφου μέθοδος, περὶ μὲν τὸ βαρὺ καὶ κοῦφον πρότερον καταγιγνομένη, μετὰ δὲ ταῦτα περὶ τὸ θερμὸν καὶ ψυχρόν, καὶ τὰ τοιαῦτα, καὶ γὰρ διχῶς θεωρεῖται τῷ Φιλοσόφῳ τὰ ἁπλᾶ σώματα ἢ ὡς μέρη συμπληρωτικὰ τοῦ παντὸς, ἢ καθ' ἑαυτὰ ἢ τοιάδε εἰσὶ σώματα, καθ' ἣν σκέψιν αἱ τούτων ἐνέργειαι διερευνῶνται, ἕκαστον γὰρ ἕνεκα τοῦ οἰκείου τέλους ἐστὶ, τέλος δὲ ἑκάστου ἡ τούτων ἐνέργεια. Ἐπειδὴ τοίνυν ἡ τοῦ παντὸς θεωρία τῆς σκέψεως τῶν τούτου μερῶν ἡγεῖται, τὸ γὰρ ὅλον ὥς γε πρότερόν ἐστι τῶν μερῶν τῷ λόγῳ τῆς Φύσεως, οὕτω τοι καὶ πρότερον ὑποπίπτει τῷ νῷ, εὐλόγως ὁ Φιλόσοφος πρῶτον μὲν διέλαβε περὶ τῶν στοιχείων ᾗ μέρη τοῦ παντός εἰσιν, εἶτα δὲ καθ' ἑαυτὰ περὶ αὐτὰ καταγίνεται, κἀπειδὴ ᾗ μέρη τοῦ παντὸς, ἔχει τε τὸν οἰκεῖον ἕκαστον τόπον, καὶ πρὸς αὐτὸν φέρεται, ὀρθῶς πρότερον περὶ τοῦ βαρέος καὶ κούφου τὸν λόγον ἀπέτεινε, διὰ γὰρ τὴν βαρύτητα καὶ κουφότητα τῶν στοιχείων τὰ μὲν ἄνω κινεῖται, τὰ δὲ κάτω, καὶ τῶν τοιούτων τόπων ὑπάρχει, οὐ μὴν ἐκ τούτου γε ὀρθῶς ἐπιφέρει τις τὸ βαρὺ καὶ κοῦφον ἁπλῶς εἶναι τὰς πρώτας ποιότητας, ἀλλὰ μᾶλλον ἐπειδὴ κατ' αὐτὰς εἴρηται τὰ στοιχεῖα συμπληρωτικὰ τοῦ παντὸς, ἑτέρας τινὰς τούτων προτέρας χρεὼν ὑπάρχειν αἷς εἰδοποιεῖται τὰ στοιχεῖα, καὶ τοιάδε καθίσταται σώματα, ἡ γὰρ διαφορὰ καθ' ἣν ἔστι ἢ τοιοῦτον θεωρεῖται, προτέρα ἐστὶ τῆς διαφορᾶς, καθ' ἣν τὸ αὐτὸ ἐν σχέσει ἐστὶ καὶ πρὸς ἄλλο ἀναφέρεται, διὸ τὸ θερμὸν καὶ ψυχρὸν, τὸ ὑγρὸν καὶ ξηρὸν τῶν ἐν τοῖς στοιχείοις ποιοτήτων ἡγοῦνται, συστατικὰ γάρ ἐστι καὶ εἰδοποιὰ τῶν στοιχείων ἐν τῇ καθ' ἑαυτὸ τούτων θεωρίᾳ, καὶ ἐκ τούτων αἱ λοιπαὶ πᾶσαι γίγνονται ποιότητες, καὶ αὐτὸ δὴ τὸ βαρὺ καὶ κοῦφον, ὃ καὶ τῷ Φιλοσόφῳ μεμαρτύρηται ταῦτα τῶν τεσσάρων ποιοτήτων ὕστερα, λέγοντι, τῇ τῆς γενέσεως τάξει δευτέρῳ περὶ μερῶν ζώων, κεφαλαίῳ πρώτῳ, ὁμοίως δὲ καὶ ὀγδόῳ Φυσικῶν, τὴν φορὰν τῇ τελειότητι μὲν πρώτην, εἰπόντι, πάσης κινήσεως, ὑστέραν δὲ τῇ γενέσει. Δεύτερον εἰ τέσσαρες εἰσὶν αἱ πρῶται ποιότητες τοὐλάχιστον δύο εἰσὶν αἱ ἐναντιώσεις αἱ πρῶται, τοῦτο δὲ πρώτῳ Φυσικῶν τεμμαχίῳ νς'. ἀπαρέσκει τῷ Φιλοσόφῳ. εἰ γάρ φησι τεττάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει χωρὶς ἑκατέρας ὑπάρχειν ἑτέραν τινὰ

με-

μεταξὺ φύσιν, εἰδ᾽ ἐξ ἀλλήλων δύνανται γίνεσθαι, περίεργον αὖ ἡ ἑτέρα τῶν ἐναντιώσεων. Ἡ περὶ τῆς πρώτης ἐναντιώσεως εἴρηται ταῦτα τῷ Φιλοσόφῳ, ἢ τοὺς ὅρους ὁρίζει πάσης γενέσεως καὶ φθορᾶς, οἷον ἡ στέρησις καὶ τὸ εἶδος, ἀλλ᾽ οὐ περὶ τῶν ἐν τοῖς στοιχείοις ἐναντιοτήτων. Αὗται γὰρ οὐκ εἰσὶ πρῶται πάντως ἐν τῷ γένει τῆς οὐσίας. Ἐν ἑκάστῳ γὰρ γένει μία ἐστὶν ἡ πρώτη ἐναντίωσις· φανερὸν δὲ καὶ ὅτι ὁ Φιλόσοφος τὴν πρώτην ἐναντιότητα θηρᾶται, καὶ ταύτην ἐνιαίαν ἀποδείκνυσιν. εἰ γάρ φησι διαστῇ ἦν, ἢ ἐξ ἑκατέρας ἅπαντα γίγνεται χωρίς, καὶ δῆλον ὅτι περίεργον ἡ ἑτέρα, εἰ δὲ μὴ ἐξ ἑκατέρας οὐκ ἔσονται ἄμφω πρῶται, ὡς μὴ οἷας τε οὔσης πρώτης λέγεσθαι τῆς ἐξ ἧς μὴ τὰ πάντα γίγνεται. Ἔτι δὲ ἑτέραν ὀφείλει εἶναι θατέρας ἐναντιώσεως τὴν ὕλην, αἱ γὰρ πρῶται ἐναντιώσεις γένει διεστήκασιν, ἀμφοτέρων οὖν ἐν τῇ οὐσίᾳ τεταγμένων περὶ τὴν ὕλην, ἑτέραν ὑποκεῖσθαι δεῖ θατέρᾳ τῶν ἐναντιώσεων. αἱ γὰρ πρῶται ποιότητες οὐκ εἰσὶ τοιαῦται ἁπλῶς, ἀλλ᾽ ἐν τῷ τῶν ποιοτήτων γένει, ὥστε οὐδὲ τῷ γένει διεστήκασιν, ἀλλ᾽ εἰς ἓν ὑπάγονται γένος τὸ ποιόν, καὶ κοινὸν ἔχουσι τὸ ὑποκείμενον, οὐδὲ τούτων ὑποτεθειμένων ἀνάγκη τίς ἐστι πολυπλασιάσαι τὰ ὑποκείμενα, ἀλλὰ μᾶλλον τοὐναντίον, ἐπειδὴ γὰρ συζεύγνυνται ἀλλήλαις εἰς ἄλληλα καθιστᾶσι μεταβλητικὰ τὰ αἰσθητὰ σώματα. τῶν δὲ τοιούτων μία ἡ ὕλη, ὡς λέλεκται πολλαχοῦ. πρόσθες εἰ βούλει τὰς Τέσσαρας ταύτας ὑπὸ μίαν τινὰ ὑπάγεσθαι ἐναντίωσιν, αἱ μὲν γὰρ τούτων εἰσὶ ποιητικαὶ οἷον ψυχρότης καὶ θερμότης, αἱ δὲ παθητικαὶ οἷον ὑγρότης καὶ ξηρότης, ὥστε τῶν ποιητικῶν καὶ παθητικῶν ποιοτήτων κατὰ τουτονὶ τὸν λόγον μίαν εἶναι τὴν ἐναντίωσιν. Τρίτον δοκεῖ τὰς ποιότητας ταύτας ἐξ ἀλλήλων γίγνεσθαι; ὃ γὰρ Φιλόσοφος μορίῳ γ΄. τοῦ πρώτου τῶν Φυσικῶν, μία τέ φησιν ἐναντίωσις ἐν παντὶ γένει ἑνί, ἡ δὲ οὐσία ἕν γένος. καὶ κατωτέρω. Ἔτι δὲ ἔστιν ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ γίγνεται ἕτερα ἐξ ἄλλων, οἷον τὸ γλυκὺ καὶ πικρόν, καὶ λευκὸν καὶ μέλαν, τὰς δὲ ἀρχὰς ἀεὶ δεῖ μένειν. ἐξ ὧν φανερὸν ὅτι παρὰ τὴν τῆς στερήσεως καὶ τοῦ εἴδους ἐναντιότητα αἱ λοιπαὶ πᾶσαι ἐξ ἄλλων γίνονται, εἰ δὲ ἐξ ἄλλων οὐ πρῶται, τοῦτο δὲ καὶ ἡ πεῖρα μαρτυρεῖν ἔοικε. Τὸ μὲν γὰρ θερμὸν ὑπ᾽ ἀραιότητος καὶ κινήσεως καὶ φωτὸς γίνεται, ὑπὸ δὲ τῶν ἐναντίων τὸ ψυχρόν, ὁμοίως δὲ τὸ ξηρὸν ὑπὸ τοῦ θερμοῦ γίνεται καὶ τοῦ φωτός, τὸ δὲ ὑγρὸν ὑπὸ τοῦ ψυχροῦ καὶ τοῦ σκότους. Ἢ ὅτι πρῶταί εἰσιν οὐ πασῶν τῶν ποιοτήτων, ἀλλὰ τῶν ἐν τοῖς ὑπὸ Σελήνην εὑρισκομένων, καὶ μάλιστα τῶν κατὰ τὴν ἁφήν. ἐξ οὗ δῆλον ὅτι γίγνεται μὲν ὑπὸ τοῦ φωτὸς καὶ τῆς κινήσεως καὶ τῆς ἀραιότητος τὸ θερμόν, ἀλλὰ ταῦτα οὐκ εἰσὶ ποιότητες κατὰ τὴν ἁφήν. πρόσθες ὅτι κατὰ συμβεβηκὸς ἡ τοιαύτη

ΙΩΑΝΝΙΝΑ 2006

τελεῖται γένεσις, ἀλλ' οὐ καθ' ἑαυτὸ καὶ πρώτως. Τέταρτον οὐκ εἰσὶ πρῶτα ἃ γίγνεται ἐξ ἄλλων. Τὸ γὰρ ὑγρὸν καὶ ξηρὸν ὑπὸ τοῦ θερμοῦ καὶ ψυχροῦ ἔσθ' ὅτε περιάγεται, ὡς ὁ αὐτὸς Φιλόσοφος διδάσκει, Τετάρτῳ περὶ μετεωρολογικῶν περὶ τὴν ἀρχήν, λέγει γὰρ ὅτι τὸ θερμὸν καὶ ψυχρὸν ποιητικά εἰσιν ὑγρότητος καὶ ξηρότητος, ὃ καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ πέμπτου περὶ γενέσεως ζώων ὁμολογεῖ. πρόσθες ὅτι εἰ ποιητικαὶ μὲν αἱ δύο, παθητικαὶ δὲ αἱ δύο, πρότεραι τῶν παθητικῶν ἔσονται αἱ ποιητικαί. ἀεὶ γὰρ ὡς λέγεται τρίτῳ περὶ ψυχῆς μορίῳ ιθ'. τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος, καὶ ἡ ἀρχὴ τῆς ὕλης, καὶ γὰρ ἡ ἐνέργεια προτέρα τοῦ πάθους, καὶ τοῦ δυνάμει ὄντος ἡ ἐντελέχεια ἐκ τοῦ θ'. τῆς πρώτης Φιλοσοφίας, ὥστε οὐκ ὀρθῶς ἴσα λέγονται πᾶσαι. πρὸς δὲ ταῦτα φαμὲν ὅτι τὸ θερμὸν καὶ ψυχρὸν κατὰ συμβεβηκὸς γίγνεται περιακτικὰ τοῦ ὑγροῦ καὶ ξηροῦ, ἐξάγοντα τὴν ἐν τῷ πάσχοντι ἰκμάδα. Ἢ τῇ τοῦ θερμοῦ ἐξωθήσει συναποβαλλομένην τοῦ ξηροῦ, ὅτι δὲ τιμιώτεραι τῶν παθητικῶν αἱ ποιητικαὶ ποιότητες συγκεχωρείσθω. οὐ μὴν ἐκ τούτου ἕπεται ἑκατέραν ἑκατέρας ἡγεῖσθαι τῇ τῆς γενέσεως τάξει. Πέμπτον οὐκ ὀρθῶς αἱ τοιαῦται ἐναντιώσεις πασῶν τῶν ἐν τῷ θνητῷ σώματι ποιοτήτων πρῶται λέγονται. Τὸ γὰρ φῶς καὶ τὸ διαφανὲς, καὶ τὸ ἀδιαφανὲς οὐ μόνον πρότερα τούτων εἰσὶν, ἀλλὰ καὶ κοινότερα ὁμοῦ τοῖς οὐρανίοις προσόντα σώμασι καὶ τοῖς ὑπὸ Σελήνην. Ἀλλ' ὅμως οὐκ ἀληθῆ ταῦτα. Τὸ μὲν γὰρ ἐν αἰθέρι φῶς, ἢ διαφανὲς πρότερον μὲν ἐστιν, ἀλλ' οὐχ ἁπτόν. οὐδὲ πρόσεστι τῷ ἐν γενέσει σώματι, ὅσα δὲ ἐν ἡμῖν φωτεινὰ καὶ διαφανῆ, ταῦτα ταῖς πρώταις ἐπακολουθεῖ ποιότησιν, ὡς ἐν τοῖς περὶ ψυχῆς εἰρήσεται.

## ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

### Πότερον τὸ ψυχρὸν καὶ ξηρὸν στερήσεις εἰσίν;

Τινὲς μὲν οὖν ἀναιρεῖν βουλόμενοι τὸν ἐν ταῖς ποιότησι τετραδικὸν ἀριθμὸν, τὸ ψυχρὸν καὶ ξηρὸν στερήσεις εἶναι μόνον ἀποδεικνύναι πειρῶνται, μάρτυρα παρεχόμενοι τὸν Φιλόσοφον εἰ καὶ τοῦτο οὐ μόνον ψυχρότης, ἀλλὰ καὶ βαρύτης ἐν τῷ δευτέρῳ περὶ οὐρανοῦ μορίῳ ιη'. στερήσεις λέγονται οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὴν τῆς θερμότητος καὶ κουφότητος ὑπεροχὴν ἀναφερόμεναι. ὥσπερ καὶ τὸ μέλαν πρὸς τὸ λευκὸν στέρησις λέγεται δεκάτῳ τῶν μετὰ τὰ Φυσικὰ μορίῳ κβ'. μάλιστα δὲ περὶ

γενέ-

ΙΩΑΝΝΙΝΑ 2006